ἑκατέροις ἴσον· ἐπεὶ καὶ τὸ πῦρ εἰσιν οἱ τοῦ παντὸς ἀρχὴν ἀποφαινόμενοι καὶ οἷον σπέρμα τοῦτ᾽ ἐξ ἑαυτοῦ τε πάντα ποιεῖν καὶ εἰς ἑαυτὸ ἐκλαμβάνειν κατὰ τὴν ἐκπύρωσιν. ἀφέμενοι δὲ τῶν ἀνδρῶν σκεψώμεθα τοὺς εἰς ἑκάτερον λόγους πῇ μᾶλλον ἄγουσιν ἡμᾶς.

2. Ἆρ᾽ οὖν οὐ χρησιμώτερον ἐκεῖνο, οὗ πάντοτε καὶ
F διηνεκῶς δεόμεθα καὶ πλείστου, καθάπερ ἐργαλεῖον καὶ
ὄργανον καὶ νὴ Δία φίλος ὁ πάσης ὥρας καὶ παντὸς και-
ροῦ παρὼν ἕτοιμος; καὶ μὴν τὸ μὲν πῦρ οὐ πάντοτε
χρήσιμον, ἔστι δ᾽ ὅτε καὶ βαρυνόμεθα καὶ ἀποσπώμεθα·
τοῦ δ᾽ ὕδατος χρεία καὶ χειμῶνος καὶ θέρους καὶ νοσοῦσι
956 καὶ ὑγιαίνουσι, νυκτὸς καὶ μεθ᾽ | ἡμέραν, καὶ οὐκ ἔστιν
ὅτ᾽ ἄνθρωπος οὐ δεῖται. ἀμέλει τοὺς ἀποθανόντας ἀλί-
βαντας καλοῦσιν ὡς ἐνδεεῖς λιβάδος, τουτέστιν ὑγρότη-
τος, καὶ παρὰ τοῦτο στερουμένους τοῦ ζῆν. καὶ ἄνευ μὲν
πυρὸς ἦν πολλά⟨κις⟩, ὕδατος δ᾽ οὐδέποτ᾽ ἄνθρωπος.
ἔτι τὸ ἐξ ἀρχῆς καὶ ἅμα τῇ πρώτῃ καταβολῇ τῶν ἀνθρώπων χρησιμώτερον τοῦ ὕστερον εὑρεθέντος· δῆλον γὰρ ὡς τὸ μὲν ὡς ἀναγκαῖον ἡ φύσις ἔδωκε, τὸ δὲ περιουσίᾳ τῆς χρήσεως τέχνη καὶ μηχανή τις εὗρεν. ὕδωρ μὲν οὖν